# ΑΡΧΑΙΑ ΠΡΟΣΑΝΑΤΟΛΙΣΜΟΥ

## Α. ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ

**1ο απόσπασμα:**

**Αριστοτέλης, *Πολιτικά*, Α1.1·8, 1252a1-7·b27-32**

Ἐπειδὴ πᾶσαν πόλιν ὁρῶμεν κοινωνίαν τινὰ οὖσαν καὶ πᾶσαν κοινωνίαν ἀγαθοῦ τινος ἕνεκεν συνεστηκυῖαν (τοῦ γὰρ εἶναι δοκοῦντος ἀγαθοῦ χάριν πάντα πράττουσι πάντες), δῆλον ὡς πᾶσαι μὲν ἀγαθοῦ τινος στοχάζονται, μάλιστα δὲ καὶ τοῦ κυριωτάτου πάντων ἡ πασῶν κυριωτάτη καὶ πάσας περιέχουσα τὰς ἄλλας. Αὕτη δ᾽ ἐστὶν ἡ καλουμένη πόλις καὶ ἡ κοινωνία ἡ πολιτική. […] Ἡ δ᾽ ἐκ πλειόνων κωμῶν κοινωνία τέλειος πόλις, ἤδη πάσης ἔχουσα πέρας τῆς αὐταρκείας ὡς ἔπος εἰπεῖν, γινομένη μὲν τοῦ ζῆν ἕνεκεν, οὖσα δὲ τοῦ εὖ ζῆν. Διὸ πᾶσα πόλις φύσει ἔστιν, εἴπερ καὶ αἱ πρῶται κοινωνίαι. Τέλος γὰρ αὕτη ἐκείνων, ἡ δὲ φύσις τέλος ἐστίν.

**2ο απόσπασμα:**

**Αριστοτέλης, *Πολιτικά*, Γ6.3-4, 1281a39-b10**

Περὶ μὲν οὖν τῶν ἄλλων ἔστω τις ἕτερος λόγος· ὅτι δὲ δεῖ κύριον εἶναι μᾶλλον τὸ πλῆθος ἢ τοὺς ἀρίστους μὲν ὀλίγους δέ, δόξειεν ἂν λέγεσθαι καί τιν᾽ ἔχειν ἀπορίαν τάχα δὲ κἂν ἀλήθειαν. Τοὺς γὰρ πολλούς, ὧν ἕκαστός ἐστιν οὐ σπουδαῖος ἀνήρ, ὅμως ἐνδέχεται συνελθόντας εἶναι βελτίους ἐκείνων, οὐχ ὡς ἕκαστον ἀλλ᾽ ὡς σύμπαντας, οἷον τὰ συμφορητὰ δεῖπνα τῶν ἐκ μιᾶς δαπάνης χορηγηθέντων· πολλῶν γὰρ ὄντων ἕκαστον μόριον ἔχειν ἀρετῆς καὶ φρονήσεως, καὶ γίνεσθαι συνελθόντων, ὥσπερ ἕνα ἄνθρωπον τὸ πλῆθος, πολύποδα καὶ πολύχειρα καὶ πολλὰς ἔχοντ᾽ αἰσθήσεις, οὕτω καὶ περὶ τὰ ἤθη καὶ τὴν διάνοιαν. Διὸ καὶ κρίνουσιν ἄμεινον οἱ πολλοὶ καὶ τὰ τῆς μουσικῆς ἔργα καὶ τὰ τῶν ποιητῶν· ἄλλοι γὰρ ἄλλο τι μόριον, πάντα δὲ πάντες.

**Α1.α.** Να γράψετε στο τετράδιό σας τον αριθμό που αντιστοιχεί σε καθεμία από τις παρακάτω περιόδους λόγου και δίπλα σε αυτόν τη λέξη «**Σωστό**», αν είναι σωστή, ή τη λέξη «**Λάθος**», αν είναι λανθασμένη, με βάση τα δύο αποσπάσματα του διδαγμένου κειμένου:
**1.** Δεν αποσκοπούν όλες οι μορφές κοινωνικής συμβίωσης σε κάποιο αγαθό.
**2.** Ο Αριστοτέλης υποστηρίζει χωρίς επιφύλαξη την άσκηση της εξουσίας από τους αρίστους.
**3.** Η αναφορά στα «συμφορητὰ δεῖπνα» τεκμηριώνει την άσκηση της εξουσίας από το πλήθος.
(μονάδες 6)

**Α1.β.** Με βάση το δεύτερο απόσπασμα του διδαγμένου κειμένου να αντιστοιχίσετε τις φράσεις της **Στήλης Α** με τον χαρακτηρισμό που τους αποδίδεται στη **Στήλη Β**. (Ένα στοιχείο της **Στήλης Β** περισσεύει).

| Στήλη Α | Στήλη Β |
|---|---|
| α. «οἷον τὰ συμφορητὰ δεῖπνα τῶν ἐκ μιᾶς δαπάνης χορηγηθέντων» | 1. παράδειγμα<br>2. αντίθεση<br>3. αναλογία |
| β. «ὥσπερ ἕνα ἄνθρωπον τὸ πλῆθος, πολύποδα καὶ πολύχειρα» | |

(μονάδες 4)
**Μονάδες 10**

**Β1.** Πώς ορίζει ο Αριστοτέλης την «πόλιν» και ποιος ο σκοπός της ύπαρξής της;
**Μονάδες 10**

## Β2. ΠΑΡΑΛΛΗΛΟ ΚΕΙΜΕΝΟ

*Ο Ανώνυμος Ιαμβλίχου στο παρακάτω απόσπασμα αναφέρεται στον τρόπο άσκησης της εξουσίας.*

Αν υποθέσουμε πως θα ήταν δυνατό να υπάρξει κάποιος που θα έχει εκ γενετής τις ακόλουθες ιδιότητες: θα είναι άτρωτος, απρόσβλητος από αρρώστιες και από άλλα παθήματα, χαλύβδινος, με υπερφυσικές σωματικές και ψυχικές δυνάμεις, θα μπορούσαμε ίσως να πιστέψουμε ότι η δύναμη ενός τέτοιου ανθρώπου θα ήταν αρκετή για να του εξασφαλίσει πλεονεκτήματα σε σχέση με τους άλλους (δεδομένου ότι ένας τέτοιος άνθρωπος θα μπορούσε να παραβαίνει το νόμο χωρίς συνέπειες). Ωστόσο η εντύπωση αυτή δεν είναι σωστή. Ακόμη κι αν θα υπήρχε κάποιος με τέτοιες ιδιότητες –πράγμα αδύνατο – αυτός ο κάποιος θα κατόρθωνε να επιπλεύσει μόνο εφόσον θα πήγαινε με το μέρος του νόμου και της δικαιοσύνης, εφόσον θα τα ενίσχυε αυτά και εφόσον θα χρησιμοποιούσε τη δύναμή του για να στηρίξει το νόμο και το δίκιο και οτιδήποτε το προάγει. Διαφορετικά δεν θα άντεχε. Γιατί όλοι οι άλλοι θα συσπειρώνονταν εναντίον ενός τέτοιου ανθρώπου και καθώς θα είχαν καλή διοίκηση και αριθμητική υπεροχή, θα υπερτερούσαν απέναντί του είτε με την επιδεξιότητα είτε με τη δύναμη και τελικά θα έβγαιναν νικητές.
**Ανώνυμος Ιαμβλίχου, Απ. 1,6,1-5 (μτφρ. *Ν. Σκουτερόπουλος*).**

Να παρουσιάσετε τα χαρακτηριστικά του φανταστικού «Υπερανθρώπου» όπως αυτά περιγράφονται στο 2ο απόσπασμα του Αριστοτέλη και στο απόσπασμα του Ανωνύμου Ιαμβλίχου.

**Μονάδες 10**

**Β3.** Να βρείτε στα δύο αποσπάσματα του αρχαίου διδαγμένου κειμένου μία ετυμολογικά συγγενή λέξη για καθεμία από τις παρακάτω λέξεις της νέας ελληνικής:
**οπτική, σύσταση, λάθος, δοχείο, ποδήλατο**.

**Μονάδες 10**

**Β4.** Να γράψετε στο τετράδιό σας δίπλα στον αριθμό της **Στήλης Α** το γράμμα από τη **Στήλη Β** που αντιστοιχεί στην ορθή απάντηση:

| Στήλη Α | Στήλη Β |
|---|---|
| **1.** Ο Αριστοτέλης έφτασε στην Αθήνα, όταν ο Πλάτωνας έλειπε | **α.** στο πρώτο ταξίδι του στη Σικελία. |
| | **β.** στο δεύτερο ταξίδι του στη Σικελία. |
| **2.** Η Σχολή που ίδρυσε ο Θεόφραστος ονομαζόταν | **α.** Λύκειο. |
| | **β.** Περίπατος. |
| **3.** Η ευδαιμονία, κατά τον Αριστοτέλη, είναι | **α.** ενέργεια της ψυχής. |
| | **β.** κατάσταση της ψυχής. |
| **4.** Τα μέρη της ψυχής, κατά τον Αριστοτέλη, ήταν | **α.** ἄλογον, λόγον ἔχον, ἐπιθυμητικόν. |
| | **β.** ἐπιθυμητικόν, θυμοειδές, λογιστικόν. |
| **5.** Η πόλις-κράτος στα *Πολιτικά* αποτελείται από | **α.** όμοια μεταξύ τους μέρη. |
| | **β.** ανόμοια μεταξύ τους μέρη. |

**Μονάδες 10**

## Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ
**Πλάτωνας, *Θεάγης*, 121, b1-d6**
(ed. OXFORD CLASSICAL TEXTS)

*Στο συγκεκριμένο απόσπασμα ο εύπορος γαιοκτήμονας Δημόδοκος συνομιλεί με τον Σωκράτη στην Αρχαία Αγορά και του εκφράζει την ανησυχία του, επειδή ο γιος του Θεάγης επιθυμεί διακαώς να γίνει μαθητής κάποιου σοφιστή.*

Ὦ Σώκρατες, πάντα τὰ φυτὰ κινδυνεύει **τὸν αὐτὸν** τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ ζῷα τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν **τοῦτο** γίγνεται, ὅσοι τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ πρὸ τοῦ φυτεύειν καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ τὸ φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος γίγνεται. οὕτω δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀνθρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων

τεκμαίρομαι καὶ ἐς τἆλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ ὑέος τουτουΐ, εἴτε φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν **ὀνομάζειν**, **πάντων** ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φόβῳ περὶ αὐτοῦ δεδιότι. τὰ μὲν οὖν ἄλλα πολλὰ ἂν εἴη λέγειν, ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ – ἔστι μὲν γὰρ οὐκ ἀγεννής, σφαλερὰ δέ– ἐπιθυμεῖ γὰρ δὴ οὗτος ἡμῖν, ὦ Σώκρατες, ὥς φησι, σοφὸς γενέσθαι. δοκῶ γάρ μοι, τῶν ἡλικιωτῶν τινες αὐτοῦ καὶ δημοτῶν, **εἰς τὸ ἄστυ** καταβαίνοντες, λόγους τινὰς ἀπομνημονεύοντες διαταράττουσιν αὐτόν, οὓς ἐζήλωκεν καὶ πάλαι **μοι** πράγματα παρέχει, ἀξιῶν ἐπιμεληθῆναί με ἑαυτοῦ καὶ χρήματα τελέσαι τινὶ τῶν σοφιστῶν, ὅστις αὐτὸν **σοφὸν** ποιήσει.

-----------------------------

θεραπεία τοῦ φύντος: φροντίδα του βλασταριού
περὶ αὐτοῦ δεδιότι: (εμένα) που φοβάμαι γι' αυτόν
οὐκ ἀγεννής: αρχοντική
τῶν ἡλικιωτῶν: των συνομηλίκων

**Γ1.** Να γράψετε στο τετράδιό σας τη μετάφραση του παρακάτω αποσπάσματος: «**Ὦ Σώκρατες … περὶ αὐτοῦ δεδιότι**».

**Μονάδες 20**

**Γ2.** Στο απόσπασμα **«δοκῶ γάρ μοι … αὐτὸν σοφὸν ποιήσει»** τι αξιώνει ο Θεάγης από τον πατέρα του Δημόδοκο και γιατί;

**Μονάδες 10**

**Γ3.** Να γράψετε τους τύπους που ζητούνται για καθεμία από τις παρακάτω λέξεις:

| | |
|---|---|
| **ἔχειν :** | το β' ενικό πρόσωπο προστακτικής αορίστου β' στην ίδια φωνή |
| **ῥᾷστον :** | τον ίδιο τύπο στον θετικό και συγκριτικό βαθμό |
| **ἀγεννής :** | τη γενική του ενικού στο ίδιο γένος |
| **ἐπιθυμεῖ :** | το απαρέμφατο του ίδιου χρόνου στην ίδια φωνή |
| **τὸ ἄστυ :** | την ονομαστική του πληθυντικού |
| **καταβαίνοντες :** | τον ίδιο τύπο στον μέλλοντα |
| **πάλαι :** | τον συγκριτικό βαθμό |
| **ἐπιμεληθῆναι :** | τη μετοχή του αρσενικού γένους στη γενική πληθυντικού στον ίδιο χρόνο και στην ίδια φωνή |
| **ὅστις :** | τον ίδιο τύπο στον άλλο αριθμό |

**Μονάδες 10**

**Γ4.α.** Να χαρακτηρίσετε συντακτικά τους όρους που εμφανίζονται στο αδίδακτο με έντονα γράμματα: **τὸν αὐτὸν, τοῦτο, ὀνομάζειν, πάντων, εἰς τὸ ἄστυ, μοι, σοφὸν.**

(μονάδες 7)

**β.** «**ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ**»: να μεταφέρετε το απόσπασμα στον πλάγιο λόγο με εξάρτηση από τη φράση «**Δημόδοκος ἔλεγεν ὅτι**».

(μονάδες 3)

**Μονάδες 10**